δαίμονος καὶ τὸ μαντικόν ἐστι καὶ θεοκλυτούμενον γένος·
ὧν τὴν Ἑρμοδώρου τοῦ Κλαζομενίου ψυχὴν ἀκήκοας δή-
πουθεν, ὡς ἀπολείπουσα παντάπασι τὸ σῶμα νύκτωρ καὶ
μεθ' ἡμέραν ἐπλανᾶτο πολὺν τόπον, εἶτ' αὖθις ἐπανῄει
D πολλοῖς τῶν μακρὰν λεγομένων καὶ πραττομένων ἐντυ-
χοῦσα καὶ παραγενομένη, μέχρι οὗ τὸ σῶμα τῆς γυναικὸς
προδούσης λαβόντες οἱ ἐχθροὶ ψυχῆς ἔρημον οἴκοι κατέπρη-
σαν. τοῦτο μὲν οὖν οὐκ ἀληθές ἐστιν· οὐ γὰρ ἐξέβαινεν
ἡ ψυχὴ τοῦ σώματος, ὑπείκουσα δ' ἀεὶ καὶ χαλῶσα τῷ
δαίμονι τὸν σύνδεσμον ἐδίδου περιδρομὴν καὶ περιφοί-
τησιν, ὥστε πολλὰ συνορῶντα καὶ κατακούοντα τῶν ἐκτὸς
εἰσαγγέλλειν. οἱ δ' ἀφανίσαντες τὸ σῶμα κοιμωμένου
μέχρι νῦν δίκην ἐν τῷ ταρτάρῳ τίνουσι. ταῦτα δ' εἴσῃ'
E φάναι 'σαφέστερον, ὦ νεανία, τρίτῳ μηνί· νῦν δ' ἄπιθι.'
παυσαμένης δὲ τῆς φωνῆς βούλεσθαι μὲν αὐτὸν ὁ Τί-
μαρχος ἔφη θεάσασθαι περιστρέφοντα, τίς ὁ φθεγγό-
μενος εἴη· σφόδρα δὲ τὴν κεφαλὴν αὖθις ἀλγήσας, καθά-
περ βίᾳ συμπιεσθεῖσαν, οὐδὲν ἔτι γιγνώσκειν οὐδ' αἰσθά-
νεσθαι τῶν καθ' ἑαυτόν, εἶτα μέντοι μετὰ μικρὸν ἀν-
ενεγκὼν ὁρᾶν αὑτὸν ἐν Τροφωνίου παρὰ τὴν εἴσοδον, οὗπερ
ἐξ ἀρχῆς κατεκλίθη, κείμενον. **(23.)** ὁ μὲν οὖν Τιμάρχου
μῦθος οὗτος· ἐπεὶ δ' ἐλθὼν Ἀθήναζε τρίτῳ μηνὶ κατὰ τὴν
F γενομένην φωνὴν ἐτελεύτησεν, ἡμεῖς δὲ Σωκράτει θαυμά-
ζοντες ἀπηγγέλλομεν, ἐμέμψατο Σωκράτης ἡμᾶς, ὅτι μὴ
ζῶντος ἔτι τοῦ Τιμάρχου διήλθομεν· αὐτοῦ γὰρ ἂν ἡδέως
ἐκείνου πυθέσθαι καὶ προσανακρῖναι σαφέστερον.'

''Ἀπέχεις, ὦ Θεόκριτε, μετὰ τοῦ λόγου τὸν μῦθον, ἀλλ'
ὅρα μὴ καὶ τὸν ξένον ἡμῖν παρακλητέον ἐπὶ τὴν ζήτησιν·
οἰκεία γὰρ πάνυ καὶ προσήκουσα θείοις ἀνδράσι.' 'τί δ''
εἶπεν ''Ἐπαμεινώνδας οὐ συμβάλλεται γνώμην ἀπὸ τῶν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403544920/506 UNIVERSITÄT LEIPZIG